εὐριπίδειον (εὐριπίδιον) / euripidium (euripidion)

⏑⏑ ⏑ – × – ⏑ ⏒

1. Hephaest. 18. 6 sqq. δίμετρον μὲν (*scil.* τροχαικόν) καταληκτικὸν τὸ καλούμενον εὐριπίδειον ἢ ληκύθιον, οἷόν ἐστι· (Eur. *Phoen*. 239 sq.)

νῦν δέ μοι πρὸ τειχέων
θούριος μολὼν Ἄρης.

Hephaest. 52. 24 sqq. ἄλλο ἀσυνάρτητον [ὁμοίως] κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου καὶ τροχαικοῦ ἐφθημιμεροῦς, τοῦ καλουμένου εὐριπιδείου, οἷόν ἐστι τὸ ἐν τοῖς ἀναφερομένοις εἰς Ἀρχίλοχον Ἰοβάκχοις· (fr. 322. 1 [IEG I, p. 104] West)

Δήμητρος ἁγνῆς καὶ Κόρης τὴν πανήγυριν σέβων.

Choerob. 230. 16 sqq. εἶτα λοιπὸν αὐτὸς (*scil.* ὁ Ἡφαιστίων) σαφῶς διδάσκει, πόθεν σύγκειται τὸ καλούμενον εὐριπίδειον ἢ ληκύθιον. ἰστέον δὲ ὅτι τοὺς τραγικοὺς ληκύθους ἐκάλουν, ὅθεν καὶ Καλλίμαχος φησίν· (fr. 215 Pfeiffer)

ἥτις τραγῳδὸς μοῦσα ληκυθίζουσα·
ἄλλοι δὲ κομποληκύθους· ἢ ὅτι ὅμοιόν ἐστι τῷ· (Aristoph. *ran*. 1233)
ληκύθιον ἀπώλεσεν.

Tzetz. *de metr. Pind.* 33. 8 sqq.

τὸ ἕβδομον τροχαικὸν καὶ καταληκτικόν δε
καὶ δίμετρον διώνυμον· ὡς ἐκ τοῦ Εὐριπίδου
καλεῖται Εὐριπίδιον, καὶ δὴ ληκύθιόν τε.
ἐν ληκυθίῳ παίζει γὰρ Ἀριστοφάνους δρᾶμα
τὸν τραγικὸν τὸν εὐφυᾶ, τὸν Εὐριπίδην λέγω.
ἐν τοῖς βατράχοις τοῦτο δὲ ὁ κωμικὸς προσπαίζει,
οἷς Εὐριπίδου λέγοντος ἀρχὰς τῆς μονῳδίας
ληκύθιον ἀπώλεσεν ὁ κωμικὸς προσφέρει.
ἢ τοίνυν ἐκ τούτου λέγεται ληκύθιον τὸ μέτρον,
Ἀριστοφάνους σκώπτοντος τὸ μέτρον Εὐριπίδου,
ἢ διὰ τὸν τροχαικὸν βόμβον καλεῖται οὕτως.
περὶ γὰρ τὸ ληκύθιον τοιοῦτος ἔστι βόμβος
ἔκ τε ἀέρος ἐν αὐτῷ ἐμπεριεχομένου
ἀνθρωπικοῦ τε πνεύματος ἔξωθεν ἐρχομένου·
διόπερ καὶ Καλλίμαχος λέγει τὴν τραγῳδίαν
διὰ τοὺς θρήνους καὶ κλαυθμοὺς καὶ ληκυθίαν μοῦσαν.
εἰς σαφηνείας λόγον δε ὅρα τὴν θέσιν τούτου.

τροχαῖος	δάκτυλος	τροχαῖος	συλλαβή
– ⏑	– ⏑ ⏑	– ⏑	–

λείπει γὰρ ἡ κατάληξις ὡς δίμετρον τελεῖσθαι.
(38. 8 sqq.) τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ἑβδόμῳ.
καὶ τοῦτο καταγράφομεν ἐν τῇ ἰδίᾳ θέσει.

τροχαῖοι	συλλαβή
– ⏑ – ⏑ – ⏑	⏒

Tzetz. *de metr. Pind.* 73. 9 sqq.
τὸ πέμπτον εὐριπίδειον, ληκύθιον, ὡς θέλεις·
περὶ γὰρ τούτου εἴπομεν τοῖς ἀνωτάτω τόποις.
ἔστι δὲ ἐφθημιμερὲς τροχαικὸν τὸ σύμπαν.
τροχαικά
– ◡ – ◡ – ◡ –

Tzetz. *de metr. Pind.* 76. 5 sqq.
τὸ ὄγδοον εὐριπίδειον, ληκύθιον, ὡς θέλεις.
τροχαικά
– ◡ – – – ◡ –

Tzetz. *de metr. Pind.* 78. 5 sqq.
τέταρτον εὐριπίδειον, ληκύθιον εἰ θέλεις·
τροχαῖοι δ' ἐφθημιμερὲς ὑπάρχει σοι τὸ μέτρον.
– ◡ – – – ◡ –

Tzetz. *de metr. Pind.* 84. 12 sqq.
ἔνατον δ' εὐριπίδειον, ληκύθιον εἰ θέλεις·
τροχαικόν γαρ δίμετρον καὶ καταληκτικόν τε.
ὁπόθεν δ' εὐριπίδειον, εἰρήκαμεν τοῖς ἄνω.
– ◡ – – – ◡ –

Tzetz. *de metr. Pind.* 103. 7 sqq.
ἔνατον εὐριπίδειον, ληκύθιον εἰ θέλεις·
τροχαῖος ἐφθημιμερὴς ἔστι γὰρ τὸ τοιοῦτον.
τροχαικά
– ◡ – ◡ – ◡ –

Tzetz. *de metr. Pind.* 105. 8 sqq.
ἕβδομον εὐριπίδειον, ληκύθιον εἰ θέλεις.
τροχαικά
– ◡ – ⏑ – ◡ –

Tzetz. *de metr. Pind.* 105. 15 sqq.
ἔνατον εὐριπίδειον, ληκύθιον εἰ θέλεις.
τροχαικὸν ἐφθημιμερές
– ◡ – – – ◡ –

Tzetz. *de metr. Pind.* 106. 7 sqq.
τὸ τρίτον εὐριπίδειον, ἔμαθες τὸ τοιοῦτον.
τροχαικά
– ◡ – ◡ – ◡ –

Tzetz. *de metr. Pind.* 111. 9 sqq.
τὸ ἕκτον εὐριπίδειον, τὸ καὶ ληκύθιόν σοι.
τροχαικά
– ◡ – ◡ – ◡ –

Tzetz. *de metr. Pind.* 112. 5 sqq.
δέκατον εὐριπίδειον· εἴπαμεν τούτου πέρι.
τροχαικά
– ◡ – – – ◡ –

Tzetz. *de metr. Pind.* 114. 19 sqq.

τὸ ὄγδοον τροχαικὸν, ἐφθημιμερὲς δ᾽ ἔστι·
καλεῖται δ᾽ εὐριπίδειον, τὸ καὶ ληκύθιόν πως.
τροχαικά
– ◡ – – – ◡ –

Tzetz. *de metr. Pind.* 123. 16 sqq.

τὸ δεύτερον τροχαικὸν δίμετρον καταλήξει,
ὅπερ καὶ εὐριπίδειον, ληκύθιον καλεῖται.
τροχαικά
– ◡ – ◡ – ◡ –

Anon. Harl. 21. 25 sq. δίμετρον (*scil.* τροχαικόν) καταληκτικὸν εὐριπίδειον· (Pind. *Ol.* 1. 5)

μηκέτ᾽ ἀελίου σκόπει.

Anon. Harl. 22. 9 sq. δίμετρον (*scil.* τροχαικόν) καταληκτικὸν εὐριπίδειον· (Pind. *Ol.* 12. 6)

πόλλ᾽ ἄνω, τὰ δ᾽ αὖ κάτω.

Anon. Vat. 14. 10 sqq. Tessier (Pind. *Ol.* 1. 5)

– ◡. – ◡. – ◡. –
μὴ κέθ᾽ ἁλίου σκόπει·

εὐριπίδειον ἢ ληκύθιον ἐφθημιμερές· δίμετρον (*scil.* τροχαικόν) καταληκτικὸν.

Anon. Vat. 14. 17 sqq. Tessier (Pind. *Ol.* 6. 4)

– ◡. – –. – ◡. –
χρὴ θέμεν τηλαυγὲς εἰ·

εὐριπίδειον ἢ ληκύθιον ἐφθημιμερές· ὅμοιον (*scil.* δίμετρον τροχαικὸν καταληκτικόν).

Schol. vet. in Pind. *Ol.* 1 (p. 1. 9 sq. Tessier) τὸ ε′ εὐριπίδειον, τροχαικὸν δίμετρον καταληκτικὸν, ὅμοιον τῷ· (Eur. *Phoen*. 239)

νῦν δέ μοι πρὸ τειχέων

... (p. 1. 11) τὸ ζ′ τροχαικὸν δίμετρον ὅμοιον τῷ ε′ … (p. 1. 13 sq.) τὸ ια′ τροχαικὸν δίμετρον ἀκατάληκτον πλεονάζον τοῦ εὐριπιδείου συλλαβῇ … (p. 1. 16 sq.) τὸ ιδ′ τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον ἐφθημιμερές.

Schol. rec. in Pind. *Ol.* 1 (p. 46. 7 sqq. Abel) τὸ ζ′ τροχαικὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον καὶ ληκύθιον ὡς ἐκ τοῦ ληκυθίου. τὸ γὰρ ληκύθιον, ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπείου πνεύματος οἷον ὁ τροχαῖος πούς ... (p. 47. 7 sq.) τὸ ιδ′ τροχαικὸν ὅμοιον τῷ ζ′.

Schol. vet. in Pind. *Ol.* 6 (p. 6. 4 Tessier) τὸ ε′ εὐριπίδειον … (p. 6. 14) τὸ η′ εὐριπίδειον.

Schol. rec. in Pind. *Ol.* 6 (p. 197. 13 sq. Abel) τὸ ε′ τροχαικὸν ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον …. (p. 198. 19) τὸ η′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. vet. in Pind. *Ol.* 7 (p. 7. 1 Tessier) τὸ δ′ εὐριπίδειον.

Schol. rec. in Pind. *Ol.* 7 (p. 242. 10 sq. Abel) τὸ δ′ τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον ἢ ληκύθιον.

Schol. vet. in Pind. *Ol.* 8 (p. 7. 21 Tessier) τὸ θ′ εὐριπίδειον.

Schol. rec. in Pind. *Ol.* 8 (p. 282. 3 sq. Abel) τὸ θ′ τροχαικὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον.

Schol. vet. in Pind. *Ol.* 11 (p. 10. 14 Tessier) τὸ ς′ εὐριπίδειον … (p. 10. 15 sq.) τὸ θ′ εὐριπίδειον.

Schol. rec. in Pind. *Ol.* 11 (p. 370. 9 sq. Abel) τὸ ς′ τροχαικὸν δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον ... (p. 370. 13) τὸ θ′ ὅμοιον τῷ ς′.

Schol. vet. in Pind. *Ol.* 12 (p. 11. 2 Tessier) τὸ ζ′ εὐριπίδειον … (p. 11. 3) τὸ θ′ εὐριπίδειον … (p. 11. 5) τὸ γ′ εὐριπίδειον.

Schol. rec. in Pind. *Ol.* 12 (p. 376. 3 sq. Abel) τὸ ζ′ εὐριπίδειον ἢ ληκύθιον· τροχαικὸν γάρ ἐστιν ἐφθημιμερές ... (p. 376. 7) τὸ θ′ ὅμοιον τῷ ζ′ … (p. 376. 12) τὸ γ′ εὐριπίδειον ἢ ληκύθιον.

Schol. vet. in Pind. *Ol.* 13 (p. 12. 6 Tessier) τὸ ς′ εὐριπίδειον … (p. 12. 10) τὸ ι′ εὐριπίδειον.

Schol. rec. in Pind. *Ol.* 13 (p. 384. 25 sq. Abel) τὸ ς′ εὐριπίδειον … (p. 385. 8) τὸ ι′ εὐριπίδειον.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 19 Abel) τὸ η′ τροχαικὸν ἐφθημιμερές, ἤτοι εὐριπίδειον ἢ ληκύθιον.

Schol. vet. in Pind. *Pyth.* 1 (p. 14. 16 Tessier) τὸ β′ τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον.

Schol. rec. in Pind. *Pyth.* 1 (p. 430. 12 sq. Abel) τὸ β′ τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον ἢ ληκύθιον.

Schol. vet. in Pind. *Pyth.* 2 (p. 15. 20 Tessier) τὸ ιδ′ δίμετρον τροχαικὸν καταληκτικὸν εὐριπίδειον.

Schol. rec. in Pind. *Pyth.* 2 (p. 457. 16 sq. Abel: p. 167. 29 sq. Irigoin) τὸ ιδ′ τροχαικὸν ἐφθημιμερὲς ἤτοι εὐριπίδειον.

Schol. vet. in Pind. *Pyth.* 4 (p. 17. 7 Tessier) τὸ ιβ′ εὐριπίδειον.

Schol. rec. in Pind. *Pyth.* 4 (p. 170. 1 Irigoin) τὸ ιβ′ τροχαικὸν δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερὲς εὐριπίδειον.

Schol. rec. in Pind. *Pyth.* 5 (p. 171. 7 Irigoin) τὸ ιδ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. rec. in Pind. *Pyth.* 8 (p. 174. 1 sqq. Irigoin) τὸ θ′ σύνθετον ὡς τὸ δ′ ἐκ τροχαικῆς καὶ ἰαμβικῆς συζυγίας, ἤτοι δίμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, τροχαικὸν εὐριπίδειον τὸν δεύτερον ἔχον πόδα δάκτυλον.

Schol. vet. in Pind. *Pyth.* 9 (p. 20. 4 sq. Tessier) τὸ ιγ′ τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον. τὸ ιδ′ τὸ αὐτὸ τῷ ιγ′ … (p. 20. 15) τὸ ιβ′ τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον.

Schol. rec. in Pind. *Pyth.* 9 (p. 174. 24 Irigoin) τὸ ιγ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον. τὸ ιδ′ ὅμοιον … (p. 175. 4 sq.) τὸ ιβ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. vet. in Pind. *Pyth.* 12 (p. 21. 19 sq. Tessier) τὸ ιβ′ τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον.

Schol. vet. in Pind. *Isthm.* 1 (p. 28. 16 Tessier) τὸ ζ′ εὐριπίδειον.

Schol. vet. in Pind. *Isthm*. 2 (p. 29. 4 sq. Tessier) τὸ β′ ἐφθημιμερὲς τροχαικὸν εὐριπίδειον. τὸ γ′ τὸ αὐτὸ εὐριπίδειον.

Schol. vet. in Pind. *Isthm*. 3 (p. 29. 20 Tessier) τὸ δ′ εὐριπίδειον … (p. 29. 22) τὸ η′ εὐριπίδειον … (p. 29. 23) τὸ ι′ εὐριπίδειον.

Schol. vet. in Pind. *Isthm*. 6 (p. 31. 4 Tessier) τὸ ε′ εὐριπίδειον.

Schol. vet. in Pind. *Nem*. 1 (p. 22. 2 Tessier) τὸ ε′ εὐριπίδειον … (p. 22. 2 sq.) τὸ ζ′ εὐριπίδειον … (p. 22. 5) τὸ θ′ εὐριπίδειον.

Schol. vet. in Pind. *Nem*. 5 (p. 23. 24 Tessier) τὸ η′ εὐριπίδειον … (p. 24. 3) τὸ δ′ εὐριπίδειον … (p. 24. 3 sq.) τὸ ς′ εὐριπίδειον.

Schol. vet. in Pind. *Nem*. 7 (p. 25. 12 Tessier) τὸ θ′ τροχαικὸν εὐριπίδειον διαλυθέν.

Schol. vet. in Pind. *Nem*. 8 (p. 26. 7 sq. Tessier) τὸ η′ εὐριπίδειον … (p. 26. 10) τὸ β′ εὐριπίδειον.

Schol. vet. in Pind. *Nem*. 10 (p. 27. 14 Tessier) τὸ η′ εὐριπίδειον … (p. 27. 17) τὸ ιβ′ εὐριπίδειον.

Schol. in Aesch. *Pers*. 114 (p. 35. 30 sq. Massa Positano) + τὸ α′ καὶ β′ τροχαικὰ δίμετρα καταληκτικὰ ἤτοι ἐφθημιμερῆ εὐριπίδεια ... (p. 36. 1 sq.) τὸ δ′ καὶ ε′ ὅμοια τῷ α′ καὶ β′.

Schol. in Aesch. *Pers*. 125 (p. 37. 15 sq. Massa Positano) + τὸ β′ ὅμοιον (*scil*. τροχαικόν) δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς εὐριπίδειον.

Schol. in Aesch. *Pers*. 548 (p. 50. 26 sq. Massa Positano) + τὸ ς′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον τὸν α′ ἔχον πόδα χορεῖον. τὸ ζ′ καὶ η′ ὅμοια καθαρά.

Schol. in Aesch. *Pers*. 858 (p. 64. 25 sq. Massa Positano) + τὸ ια′ τροχαικὸν ἐφθημιμερὲς καθαρόν, ὃ καλεῖται εὐριπίδειον.

Schol. in Aesch. *Pers*. 878 (p. 65. 18 sq. Massa Positano) + τὸ τρίτον τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. in Aesch. *Pers*. 955 (p. 70. 1 sq. Massa Positano) + τὰ ἑξῆς ς′ τροχαικὰ ἐφθημιμερῆ εὐριπίδεια.

Schol. in Aesch. *Pers*. 1067 (p. 73. 27 sq. Massa Positano) + τὸ δ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον ... (p. 73. 29 sq.) τὸ θ′ ὅμοιον τῷ δ′.

Schol. in Aesch. *Prom*. 593 (p. 48 Smyth) + τὸ ιε′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ^{ου} ἀντὶ ἰωνικοῦ καὶ διιάμβου· εἰ δὲ βούλει, τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον, τοῦ πρώτου ποδὸς χορείου.

Schol. in Aesch. *Sept*. 345-356b (p. 164. 3 Smith) + τὸ ι′ ὅμοιον (*scil*. τροχαικόν) ἐφθημιμερὲς εὐριπίδειον. τὸ ια′ ὅμοιον.

Schol. in Aesch. *Sept*. 766-771b (p. 330. 21 sqq. Smith) + τὸ γ′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου ἀντὶ ἰωνικοῦ καὶ διιάμβου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει τρίτον· εἰ δὲ βούλει, τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον, τοῦ πρώτου ποδὸς χορείου.

Schol. in Aesch. *Sept*. 832-839b (p. 352. 11 sq. Smith) + τὸ β′ ὅμοιον (*scil*. τροχαικόν) δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερὲς εὐριπίδειον, τοῦ πρώτου ποδὸς χορείου ... (p. 352. 15) τὸ ε′ ὅμοιον τῷ β′ τροχαικὸν καθαρόν ... (p. 352. 17 sq.) τὸ η′ τροχαικὸν καθαρὸν ὅμοιον τῷ β′.

Schol. in Aesch. *Sept*. 848-852b (p. 357. 11 sq. Smith) + τὸ ς′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. in Aesch. *Sept*. 907-910b (p. 378. 2 sq. Smith) + τὸ β′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. in Aesch. *Sept*. 941-946d (p. 387. 23 sq. Smith) + τὸ β′ τροχαικὸν δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερὲς εὐριπίδειον.

Schol. in Aesch. *Sept*. 951-960c (p. 389. 34 sq. Smith) + τὸ ε′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. in Aesch. *Sept*. 966-974b (p. 393. 34 sq. Smith) + τὸ β′ ὅμοιον (*scil.* τροχαικόν) δίμετρον καταληκτικόν, ἤτοι ἐφθημιμερὲς εὐριπίδειον.

Schol. in Aesch. *Sept*. 975-977d (p. 396. 1 sq. Smith) + τὸ γ′ ὅμοιον (*scil.* τροχαικόν) ἐφθημιμερὲς εὐριπίδειον τοῦ πρώτου ποδὸς χορείου ἢ δακτύλου ... (p. 396. 4 sq.) τὸ ε′ ὅμοιον τῷ γ′ εὐριπίδειον καθαρόν.

Schol. in Aesch. *Sept*. 998-1004c (p. 403. 2 sqq. Smith) + σύστημα ἕτερον ἀμοιβαῖον κατὰ περικοπὴν ἐν ἐκθέσει κώλων ιβ′, ὧν τὸ μὲν πρῶτον ἑκάστου προσώπου ἰαμβικὴ βάσις, ἤτοι ἰαμβικὸν μονόμετρον, τὸ δὲ β′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον· ὅτι τινὰ τῶν κώλων οὐ μόνον διὰ μέσου καὶ χορείους ἔχει, ἀλλὰ καὶ ἰάμβους (*cf. infra*, **7**). καὶ ἔστι δῆλον ἐκ τούτων ὅτι τὸ τροχαικὸν μέτρον μετὰ τῶν ἄλλων καὶ ἴαμβον δέχεται, εἰ καί τισιν οὐ δοκεῖ τοῦτο.

Schol. Tricl. in Soph. *Ai.* 394a (p. 11. 12 sq. Tessier) τὸ ιβ′, τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Soph. *Ant.* 353a (p. 76. 10 sq. Tessier) τὸ θ′, τροχαικὸν δίμετρον καταληκτικόν· ἤτοι ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Soph. *Ant.* 582a (p. 78. 10 sq. Tessier) τὸ ια′, τροχαικὸν δίμετρον καταληκτικόν· ἤτοι ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Soph. *Ant.* 1137a (p. 88. 5 sq. Tessier) τὸ γ′, τροχαικὸν ἐφθημιμερὲς καθαρόν· ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον.

Schol. Tricl. in Soph. *El.* 173a (p. 30. 26 Tessier) τὸ θ′, τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Soph. *El.* 201a (p. 32. 15 sq. Tessier) τὸ η′, τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον· τὸν α′ ἔχον πόδα χορεῖον.

Schol. Tricl. in Soph. *El.* 472a (p. 35. 12 sq. Tessier) τὸ ζ′, τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον ... (p. 35. 15) τὸ ι′, ὅμοιον τῷ ζ′· τροχαικόν.

Schol. Tricl. in Soph. *El.* 1082a (p. 41. 15 sqq. Tessier) τὸ ζ′, τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον· ἔχει δὲ τὸν α′ καὶ γ′ πόδα, τρίβραχυν.

Schol. Tricl. in Soph. *Oed. tyr.* 151 (p. 54. 21 sq.) τὸ λ′, τροχαικὸν ἐφθημιμερὲς ὅμοιον (*scil.* εὐριπίδειον) τῷ γ′ (*cf. infra*, **3**) ... (p. 55. 17) τὸ νη′, τροχαικὸν ἐφθημιμερὲς ὅμοιον (*scil.* εὐριπίδειον) τῷ γ′ … (p. 55. 31) τὸ οα′, τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Soph. *Oed. tyr.* 883a (p. 63. 8 sq. Tessier) τὸ β′, τροχαικὸν δίμετρον καταληκτικόν· ἤτοι ἐφθημιμερὲς εὐριπίδειον ... (p. 63. 11) τὸ δ′, ὅμοιον τῷ β′ ... (p. 63. 11 sq.) τὸ ς′, ὅμοιον τῷ β′.

Schol. Tricl. in Soph. *Oed. tyr.* 1086a (p. 64. 12 sq. Tessier) τὸ δ′, τροχαι-

κὸν δίμετρον καταληκτικὸν εὐριπίδειον ... (p. 64. 27) τὸ ιβ′, τροχαικὸν εὐριπίδειον ὅμοιον τῷ δ′.

Schol. Tricl. in Eur. *Hec*. 905-913a (p. 35 de Faveri) τὸ β′ τροχαικὸν ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον, ἢ ληκύθιον.

Schol. Tricl. in Eur. *Hec*. 1088-1106a (p. 42 de Faveri) τὸ ιη′ τροχαικὸν ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον, ἢ ληκύθιον.

Schol. Tricl. in Eur. *Or*. 960-970a (p. 63 de Faveri) [τὸ ι′] τροχαικὸν ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον.

Schol. Tricl. in Eur. *Or*. 982-1012a (p. 64 de Faveri) τὸ κ′ ὅμοιον (*scil*. τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον: *cf*. infra, **5**) τῷ γ′ ... (p. 65) τὸ λς′ ὅμοιον τῷ γ′ εὐριπίδειον.

Schol. Tricl. in Eur. *Or*. 1369-1379a (p. 74 de Faveri) τὸ δ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Eur. *Or*. 1381-1392a (p. 75 de Faveri) τὸ δ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Eur. *Or*. 1454-1472a (p. 79 de Faveri) τὸ κα′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Eur. *Or*. 1474a-1505a (p. 81 de Faveri) τὸ λη′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον, τοῦ πρώτου καὶ β′ ποδὸς χορείου.

Schol. Tricl. in Eur. *Phoen*. 239-260 (p. 97 de Faveri) εἰσὶ δὲ τὰ μὲν θ′ καὶ τὸ ια′ τροχαικὰ δίμετρα καταληκτικά, ἤτοι ἐφθημιμερῆ, ἃ καλεῖται κυρίως εὐριπίδεια ἢ ληκύθια.

Schol. Tricl. in Eur. *Phoen*. 301-354a (p. 99 de Faveri) τὸ η′ τροχαικὸν ἐφθημιμερές, εὐριπίδειον ἢ ληκύθιον ... τὸ ις′ τροχαικόν, ὅμοιον τῷ η′, τοῦ α′ ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ′ ἀντὶ ἰωνικοῦ καὶ διιάμβου.

Schol. Tricl. in Eur. *Phoen*. 638-675 (p. 105 de Faveri) τὸ ε′ τροχαικὸν καθαρὸν ἐφθημιμερὲς εὐριπίδειον. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον χορεῖον ἔχει τὸν πρῶτον πόδα … τὸ θ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον … τὸ … (*cf*. *infra*, **5**) ιδ′ τροχαικὸν εὐριπίδειον.

Schol. Tricl. in Eur. *Phoen*. 676-689a (p. 106 de Faveri) τὸ α′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον ... τὸ ζ′, τὸ η′, τὸ θ′, τὸ ι′, ὅμοια τῷ πρώτῳ τροχαικὰ εὐριπίδ[εια] ... τὸ ις′ τροχαικὸν εὐριπίδειον, ὅμοιον τῷ α′.

Schol. Tricl. in Eur. *Phoen*. 1019-1066 (p. 111 de Faveri) τὸ ιβ′ ὅμοιον (*scil*. τροχαικόν) ἐφθημιμερὲς εὐριπίδειον, τοῦ α′ καὶ β′ ποδὸς χορείου.

Schol. in Aristoph. *av*. 386a. 3 sqq. (p. 67 Holwerda) Tr τὸ δὲ ιε′, τό· (v. 399)

ἀποθανεῖν ἐν Ὀρνεαῖς

δίμετρον (*scil*. τροχαικόν) καταληκτικὸν ἤτοι ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον. Lh

Schol. in Aristoph. *av*. 737b. 3 (p. 116 Holwerda) Tr τὸ γ′ τροχαικὸν εὐριπίδειον. Lh

Schol. in Aristoph. *av*. 851a. 2 sq. (p. 133 Holwerda) Tr τὸ β′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον. Lh

Schol. in Aristoph. *av.* 895a. 2 (p. 142 Holwerda) Tr τὸ β′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον. Lh

Schol. in Aristoph. *av.* 1470 (p. 242b. 4 sqq. Dübner) ἡ στροφὴ αὕτη κώλων ἐστὶ τροχαικῶν καὶ ἰαμβικῶν ιβ′, καὶ ἡ ἀντιστροφὴ τοσούτων. καὶ ἰαμβικὰ μὲν δίμετρα τὰ ς′, ιβ′. τὰ δ᾽ ἄλλα τροχαικά, τῇ μὲν δίμετρα, τῇ δ᾽ εὐριπίδεια.

Schol. in Aristoph. *av.* 1470a. 3 (p. 213 Holwerda) Tr τὸ β′ ὅμοιον (*scil.* τροχαικόν) δίμετρον καταληκτικὸν εὐριπίδειον. τὸ γ′ ὅμοιον ... (3 sq.) τὸ ε′ ὅμοιον τῷ β′ ... (4) τὸ ζ′ καὶ η′ ὅμοια τῷ β′ ... (5) τὸ ια′ ὅμοιον τῷ β′. Lh

Schol. in Aristoph. *av.* 1553a. 3 sq. (p. 221 Holwerda) Tr τὸ δὲ ς′ δίμετρον (*scil.* τροχαικόν) καταληκτικὸν ἤτοι ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον. Lh

Schol. in Aristoph. *av.* 1694a. 2 sq. (p. 234 Holwerda) Tr τὸ β′ καὶ γ′ δίμετρα (*scil.* τροχαικά) καταληκτικὰ ἤτοι ἐφθημιμερῆ, ἃ καλεῖται εὐριπίδεια ἢ ληκύθια ... (3) τὸ ς′ καὶ ζ′ ὅμοια τῷ β′. Lh

Schol. in Aristoph. *av.* 1748a. 7 sq. (p. 240 Holwerda) Tr τὸ γ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον. τὸ δ′ ὅμοιον τῶν πρώτων δύο ποδῶν χορείων. τὸ ε′ ὅμοιον καθαρόν ... (8) τὸ ζ′ ὅμοιον τῷ γ′ ... (9) τὸ ι′ ὅμοιον τῷ γ′ ... (9 sqq.) τὸ δὲ ιβ′, τό· (v. 1765)

δαιμόνων ὑπέρτατε,

ὅμοιον τῷ γ′. Lh

Schol. in Aristoph. *eq.* 284b (p. 72. 14 sq. Jones-Wilson) Tr τὸ δὲ ιθ′, τό· (v. 302)

-ρας ἔχοντα κοιλίας,

ἐφθημιμερές (*scil.* τροχαικόν), ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον. Lh

Schol. in Aristoph. *eq.* 322b (p. 80. 23 Jones-Wilson) Tr (ad vv. 322–34) τὸ δὲ δ′ τροχαικὸν ἐφθημιμερὲς ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον. Lh

Schol. in Aristoph. *eq.* 616b (p. 153. 19 sq. Jones-Wilson) Tr (ad vv. 616–23) τὸ τέταρτον τροχαικὸν ἐφθημιμερές, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον ... (p. 153. 22) τὸ ὄγδοον ὅμοιον τῷ τετάρτῳ. Lh

Schol. in Aristoph. *pac.* 346b. 2 sqq. (p. 57 Holwerda) Tr τὸ β′ LhAld (346b α) τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον ... (7 sqq.) τὸ ς′ ὅμοιον τῷ β′ ... (11) τὸ η′ ὅμοιον τῷ β′. Lh

Schol. in Aristoph. *pac.* 571b α. 4 sqq. (p. 92 Holwerda) Tr τὸ δὲ ια′, τό· (v. 581)

τὴν θεὸν προσείπατε,

δίμετρον (*scil.* τροχαικόν) καταληκτικὸν ἤτοι ἐφθημιμερὲς εὐριπίδειον. Lh

Schol. in Aristoph. *pac.* 582b α. 3 sq. (p. 93 Holwerda) Tr τὸ α′ τροχαικὸν δίμετρον καταληκτικὸν εὐριπίδειον ... (13) τὸ ζ′ ὅμοιον τῷ α′ ... (18 sq.) τὸ ιε′ ὅμοιον τῷ α′. Lh

Schol. in Aristoph. *pac.* 651b. 2 sq. (p. 103 Holwerda) Tr τὸ δὲ ς′ δίμετρον (*scil.* τροχαικόν) καταληκτικὸν ἤτοι ἐφθημιμερὲς εὐριπίδειον. Lh

Schol. in Aristoph. *pac.* 1127b α. 15 sqq. (p. 162 Holwerda) Tr τὸ ιβ′ καὶ ιγ′, τό· (v. 1139)

τῆς γυναικὸς λουμένης,

τροχαικὰ ὅμοια δίμετρα καταληκτικὰ ἐφθημιμερῆ εὐριπίδεια. Lh

Schol. in Aristoph. *pac.* 1140b α. 6 sq. (p. 163 Holwerda) Tr τὸ δὲ γ′ καταληκτικὸν (*scil.* τροχαικὸν δίμετρον) εὐριπίδειον. Lh

Schol. in Aristoph. *pac.* 1172a α. 7 sqq. (p. 167 Holwerda) Tr τὸ δὲ γ′, τό· (v. 1190)

ἐν μάχῃ δ᾽ ἀλώπεκες,

καταληκτικὸν (*scil.* τροχαικὸν δίμετρον) εὐριπίδειον. Lh

Schol. in Aristoph. *ran.* 534 (p. 291b. 21 sq. Dübner) τὰ γ′, ς′, θ′, δίμετρα (*scil.* τροχαικά) καταληκτικά, ἤτοι ἐφθημιμερῆ εὐριπίδεια.

Schol. rec. in Aristoph. *ran.* 541-548. 3 sq. (p. 103 Chantry) τὸ γ′, τὸ ς′ καὶ τὸ θ′ ἐφθημιμερῆ ὅμοια (*scil.* τροχαικὰ δίμετρα καταληκτικά) τοῖς εἰρημένοις (534-540. 4 sq.), ἃ καλεῖται εὐριπίδεια, ἢ ληκύθια, ὡς Ἡφαιστίων (p. 18. 6 sqq.) φησί.

Schol. rec. in Aristoph. *ran.* 590-604b. 3 sq. (p. 112 Chantry) τὸ γ′ (v. 591), τὸ ς′ (finis v. 593 ab τοῦ θεοῦ) καὶ τὸ θ′ (v. 595) ἐφθημιμερῆ (*scil.* τροχαικά), ἃ καλεῖται, ὡς εἴρηται, εὐριπίδεια ἢ ληκύθια.

Schol. in Aristoph. *ran.* 814 (p. 298b. 5 sqq. Dübner) κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ μονοστροφική, τέσσαρος περιόδους ὁμοίους ἔχουσα. τὰ κῶλα δ᾽ ἑκάστης περιόδου εἰσὶν ἑπτὰ ἰσόμετρα. ὧν τὰ μὲν πρῶτα καὶ τρίτα καὶ πέμπτα δακτυλικά. ἀλλὰ τὰ μὲν ἐφθημιμερῆ, τὰ δὲ πέμπτα πενθημιμερῆ. τὰ δεύτερα καὶ τέταρτα καὶ ἕκτα ἀναπαιστικὰ ἐφθημιμερῆ. τὰ δ᾽ ἕβδομα τροχαικὰ ἐφθημιμερῆ εὐριπίδεια. μετροῦνται μέντοι καὶ κατὰ δύο δακτυλικοὺς ἑξαμέτρους καὶ ἕνα πεντάμετρον καὶ ἕνα τροχαικὸν δίμετρον καταληκτικόν.

Schol. rec. in Aristoph. *ran.* 814-829c. 5 sq. (p. 146 Chantry) τὸ ζ′ τροχαικὸν ἐφθημιμερές, εὐριπίδειον ἢ ληκύθιον.

Schol. rec. in Aristoph. *ran.* 895-904. 4 sqq. (p. 159 Chantry) τὸ γ′ (v. 897 ‘τινα λόγων ἐμμέλειαν’) ἐφθημιμερές (*scil.* τροχαικόν), τοῦ πρώτου ποδὸς τριβράχεος, ὃ καλεῖται εὐριπίδειον ἢ ληκύθιον. τὸ δ′ (v. 898 ‘ἔπιτε δαῖαν ὁδόν’) ὅμοιον ... (6 sq.) τὸ ζ′ (finis v. 899) ὅμοιον τῷ γ′ ... (7 sq.) τὸ ι′ (finis v. 901) ὅμοιον τῷ γ′ ... (9 sq.) τὸ ιδ′· (v. 904b)

-λὰς ἀλινδήθρας ἐπῶν

ἐφθημιμερὲς ὅμοιον τῷ γ′.

Schol. rec. in Aristoph. *ran.* 992-1005b. 4 sqq. (p. 173 Chantry) τὰ δὲ ἑξῆς τροχαικά, ὧν τὰ α′ (v. 994) καὶ τὸ δ′ (v. 997) ἐφθημιμερῆ, ἃ καλεῖται εὐριπίδεια ἢ ληκύθια ... (8 sqq.) τὸ δὲ ιδ′, τό· (v. 1003b)

καὶ καθεστηκὸς λάβῃς

ὅμοιον τῷ γ′ (i.e. primum trochaicum, v. 994) καὶ δ′ (i.e. quartum trochaicum, v. 997) ἐφθημιμερές.

Schol. rec. in Aristoph. *ran.* 1309-1324b. 5 (p. 219 Chantry) τὸ β′ (v. 1310) τροχαικὸν δίμετρον καταληκτικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. rec. in Aristoph. *ran.* 1356-1363c. 8 sq. (p. 230 Chantry) τὸ η′ (vv. 1360-1361 ‘πανταχῆ, σὺ δ᾽ ὦ Διὸς᾽) τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον ... (16 sq.) τὸ ιβ′ (vv. 1362-1363 ‘εἰσελθοῦσα φωράσω᾽) τροχαικὸν ἐφθημιμερὲς ὅμοιον τῷ η′.

Schol. rec. in Aristoph. *ran.* 1370-1377c. 3 sqq. (p. 233 Chantry) τὸ α′ (v.

1370) δίμετρον (*scil.* τροχαικόν) καταληκτικὸν ἤτοι ἐφθημιμερές, ὃ καλεῖται, ὡς εἴρηται, εὐριπίδειον ἢ 'ληκύθιον'. τὸ β′ (v. 1371) ὅμοιον. τὸ γ′ (v. 1372) ὅμοιον.

Schol. rec. in Aristoph. *ran.* 1482-1499c. 3 sqq. (Chantry p. 246) τὸ α′ (v. 1482), τὸ β′ (v. 1483) καὶ τὸ γ′ (v. 1484, scr. πολλοῖσιν *tr*Lv, –σι Mt) δίμετρα (*scil.* τροχαικά) καταληκτικὰ ἤτοι ἐφθημιμερῆ, ἃ καλεῖται ὡς εἴρηται εὐριπίδεια ἢ ληκύθια ... (7) τὸ η′ (v. 1489, scr. φίλοις) ὅμοιον τῷ α′ ... (8 sq.) τὸ ι′ (v. 1491), τὸ ια′ (v. 1492) καὶ τὸ ιβ′ (v. 1493) ὅμοια τῷ α′ ... (9 sq.) τὸ ιδ′ (v. 1495) καὶ ιε′ (v. 1496, scr. σεμνοῖσιν λόγοις) ὅμοια τῷ α′. *tr*Lv (ὧν τὰ μὲν α′, β′, γ′, η′, ι′, ια′, ιβ′, ιδ′, ιε′ καταληκτικὰ ἤτοι ἐφθημιμερῆ, εὐριπίδεια ἢ ληκύθια Ald.)

Schol. A in Hephaest. 122. 14 sqq. τροχαικὸν δίμετρον καταλήκτικόν ἐστι τὸ καλούμενον εὐριπίδειον ἢ ληκύθιον ὡς τό· (Eur. *Phoen*. 239)

νῦν δέ μοι πρὸ τειχέων,

ἁπλῶν ποδῶν τριῶν καὶ μιᾶς συλλαβῆς. ληκύθιον δέ φασιν αὐτὸ ἢ δι' Ἀριστοφάνην σκώπτοντα τὸ μέτρον τὸ ἐφθημιμερὲς Εὐριπίδου τό· (Aristoph. *ran*. 1233)

θοαῖς ἵπποισιν· ληκύθιον ἀπώλεσεν

ἢ διὰ τὸν βόμβον τὸν τραγικόν· βόμβος γὰρ γίνεται περὶ τὸ ληκύθιον ἐκ τοῦ ἐμπεριεχομένου αὐτῷ ἀέρος κινουμένου ἢ ὑπὸ πνεύματος ἀνδρὸς ἢ ὑπὸ ἄλλου. διὸ καὶ Καλλίμαχος 'μοῦσαν ληκυθίαν' (*cf.* fr. 215 Pfeiffer) λέγει τὴν τραγῳδίαν. καὶ αὐτολήκυθος τέως λέγεται.

[Acron] in Hor. *carm*. II 18 (I, p. 197. 8 sqq. Keller) prior versus troc<h>aicum metrum habet et est ep[i]timimeres, idest troc<h>aicum dimetrum catalecticum, et ap<p>ellatur euripidium, non quod ipse sit eius inventor, sed quod frequenter sit illo usus. troc<h>aicum autem metrum recipit pedes in inparibus locis trocheum, tribrachim et interdum dactilum, in paribus autem trocheum, tribrachim, dactilum, spondeum, anap<a>estum; habet pentemimeren et eptimimeren. sequens versus iambicus eius (*leg.* est) detracta nouissima sillaba, ita: (Hor. *carm*. II 18. 1 sq.)

non e . burne . que aure . um . mea . reni . det in . domo . lacu . nar .

[Acron] in Hor. *carm*. II 18 (I, p. 197. 19 sqq. Keller) metrum yponactium, et est primus versus trochaicus dimeter catalecticus: una enim syllaba deest, ut sit plenus dimeter. scanditur ita: (Hor. *carm*. II 18. 1)

non e . burne . que aure . um .

secundus iambicus trimeter catalecticus. scanditur ita: (Hor. *carm*. II 18. 2)

mea . reni . det in . domo . lacu . nar .

appellatur autem hoc metrum aliter euripidium, non quod ipse sit eius inventor, sed quod frequenter sit illo usus.

Sacerd. GL VI 529. 7 sq. trochaicum dimetrum catalecticum euripidium fit una syllaba a superiore metro (*scil.* anacreontio trochaico dimetro acatalecto) sublata.

Apthon. GL VI 98. 11 sqq. id vero, quod tribus praecedentibus creticis diiambo clauditur, fiet rhythmus concurrens ex duobus amphimacris et trochaico dimetro catalectico, quod euripidion nominatur, tamquam:

aureo sub toro tollit aemulas faces.

Atil. Fortun. GL VI 302. 14 sqq. in secundo libro metrum novum est: (Hor. *carm*. II 18. 1 sq.)

non ebur neque aureum
mea renidet in domo lacunas.

hoc semel omnino usus Horatius, Alceus frequenter. ab iambico natum est: nam si reddas huic partem suam, integrum trimetrum facies sic:

beatus ille non ebur neque aureum.

Philoxenus ait hoc heptasyllabon choriacon vocari et esse dimetron catalecticon euripidion. ille inquit sic: (Eur. *Phoen*. 239)

νῦν δέ μοι πρὸ τειχέων:

reliquum in Euripide attendendum.

Serv. GL IV 459. 15 sq. euripidium constat dimetro (*scil*. trochaico) catalectico, ut est hoc:

vultur altius volat.

Fragm. Bob. GL VI 621. 12 sq. dimetrum (*scil*. trochaicum) catalecticum, quod lecythion et euripidion vocatur, ut:

Martium canunt tubae.

– ◡ – × ◡ – –

2. Schol. in Aesch. *Pers*. 125 (p. 37. 16 sq. Massa Positano) τὸ γ′ ὅμοιον (*scil*. τροχαικὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς εὐριπίδειον: *cf. supra*, **1**) τὸν τρίτον ἔχον πόδα ἴαμβον.

– ◡ – ◡ – – –

3. Schol. Tricl. in Soph. *Ant*. 1137a (p. 88. 11 Tessier) τὸ η′, ὅμοιον (*scil*. τροχαικὸν ἐφθημιμερὲς … εὐριπίδειον ἢ ληκύθιον: *cf. supra*, **1**) τῷ γ′.

Schol. Tricl. in Soph. *Oed. Tyr*. 151 (p. 53. 14 Tessier) τὸ γ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

– ◡ – – – ◡ ◡

4. Schol. rec. in Pind. *Pyth*. 12 (p. 177. 14 sqq. Irigoin) τὸ ιβ′ τροχαικὸν δίμετρον καταληκτικὸν ἐφθημιμερὲς εὐριπίδειον· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος ἐκ τροχαικῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου, καὶ δακτύλου.

– – – ◡ – ◡ –

5. Schol. Tricl. in Eur. *Or*. 982-1012a (p. 64 de Faveri) τὸ γ′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

Schol. Tricl. in Eur. *Phoen*. 638-675 (p. 105 de Faveri) τὸ ιγ′ … (*cf. supra*, **1**) τροχαικὸν εὐριπίδειον.

Schol. Tricl. in Soph. *Oed. tyr*. 660a (p. 60. 2 Tessier) τὸ η′, τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον.

◡ – – ◡ – ◡ –

6. Schol. Tricl. in Eur. *Or*. 1381-1392a (p. 75 de Faveri) τὸ ς′ ἀντισπαστικὸν

δίμετρον καταληκτικόν, ἐξ ἀντισπάστου καὶ κρητικοῦ. εἰ δὲ βούλει, τροχαικὸν ὅμοιον (*scil.* τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον: *cf. supra*, **1**) τῷ δ′, ἰάμβου ἀρχομένου.

– – ◡ ◡◡ – ◡ –

7. Schol. in Aesch. *Sept.* 998-1004c (p. 403. 2 sqq. Smith) σύστημα ἕτερον ἀμοιβαῖον κατὰ περικοπὴν ἐν ἐκθέσει κώλων ιβ′, ὧν τὸ μὲν πρῶτον ἑκάστου προσώπου ἰαμβικὴ βάσις, ἤτοι ἰαμβικὸν μονόμετρον, τὸ δὲ β′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον· ὅτι τινὰ τῶν κώλων οὐ μόνον διὰ μέσου καὶ χορείους ἔχει, ἀλλὰ καὶ ἰάμβους. καὶ ἔστι δῆλον ἐκ τούτων ὅτι τὸ τροχαικὸν μέτρον μετὰ τῶν ἄλλων καὶ ἴαμβον δέχεται, εἰ καί τισιν οὐ δοκεῖ τοῦτο. T

– ◡ ◡ – – ◡ –

8. Trich. 373. 3 sqq. καταληκτικὸν δὲ (*scil.* δίμετρον τροχαικόν)·

ἀμερίων τληπόνων.

καὶ τοῦτο ἐπισημότατόν ἐστι καὶ εὐριπίδειον λέγεται.

– – – ◡ ◡ – –

9. Schol. Tricl. in Soph. *Oed. Tyr.* 1186 (p. 65. 14 sqq. Tessier) τὸ ς′, τροχαικὸν δίμετρον καταληκτικὸν ἐφθημιμερὲς εὐριπίδειον· εἴη δ᾽ ἂν καὶ ἀντισπαστικὸν φερεκράτειον· ἐξ ἐπιτρίτου δ′ ἀντὶ ἀντισπάστου καὶ βακχείου.

– ◡ ◡ – × – ◡ – ~ ◡ ◡ – × – ◡ –

10. Tzetz. *de metr. Pind.* 110. 3 sqq.

δέκατον εὐριπίδειον, ληκύθιον εἰ βούλει·
ὁ πρῶτος πούς δε δάκτυλος, [ὁ τρίτος δὲ τροχαῖος].
τροχαικά
– ◡ ◡ – – – ◡ ⏑

Schol. vet. in Pind. *Ol.* 13 (p. 11. 21 sq. Tessier) τὸ ι′ εὐριπίδειον· αἱ δὲ ἀποδόσεις ἑπτασύλλαβοί εἰσιν ἰωνικοὶ ἀπ᾽ ἐλάσσονος.

Schol. rec. in Pind. *Ol.* 13 (p. 384. 13 sqq. Abel) τὸ ι′ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον ἐκ δακτύλου ἀρχόμενον. ἐμοὶ δὲ δοκεῖ προσοδιακὸν εἶναι ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον.

Schol. Tricl. in Soph. *Ant.* 1115a (p. 87. 11 sqq. Tessier) τὸ ε′, χοριαμβικὸν δίμετρον ἀκατάληκτον· ἐκ χοριάμβου καὶ διιάμβου· τοῦτο εἴη ἂν καὶ τροχαικὸν ἐφθημιμερὲς εὐριπίδειον· τοῦ α′ ποδὸς δακτύλου.

– – ◡ – ◡ –

11. Serv. GL IV 458. 8 sq. euripidium constat dimetro (*scil.* iambico) brachycatalecto, ut est hoc:

Aiax furit dolens.

– ◡ – × – ◡ – × – ◡ –

12. Apthon. GL VI 85. 21 sqq. <trimetrus (*scil.* trochaicus) vero:

Phoebe, tu lyra sonante flecte corda,>
qui si catalexin habuerit, euripidium vocatur, veluti:
Phoebe, tu lyra sonante iam mihi.

⏑ – – ⏑ – ⏑ – × – ⏑ –

13. Sacerd. GL VI 538. 8 sqq. antispasticum dochmiacum euripidium trimetrum catalecticum fit antispasto, ditrochaeo, amphimacro:
† decretamus sic corona pulchra nos.

– ⏑ – × – ⏑ – – ⏑ – × – ⏑ –

14. Apthon. GL VI 105. 19 sqq. item ex duobus trochaicis, quae hephthemimere nuncupamus, fit metrum euripidion, quod est tale:
Phoebe carminum potens, cum sorore sis favens. [*L.S.*]